λίζεσθαι συμφαίνει. καὶ ἐν τούτοις πάλιν διαφόρως. ποτὲ μὲν
γὰρ, κατ' ἀνανδρίαν. ποτὲ δὲ κατ' ἀπειρίαν ἢ τοῦδε, ἢ ἐκείνου.
ἔστι δὲ ὅτε καὶ διὰ τὸ μὴ ὀρθοτομεῖσθαι τὸν λόγον, ἢ τῶν σκανδαλιζομένων
κακίαν τὸ σκανδαλίζεσθαι γίνεται. καὶ ἐν τοῖς πράγμασιν ὁμοίως. ἢ γὰρ
ἐν τῇ ἐντολῇ θεοῦ ποιοῦντας, ἢ τοῖς ἐναντίοις κεχρημένοις, ἐπαινεῖν ἢ
χρωμένοις, ὁ σκανδαλιζόμενος σκανδαλίζεται. ὅταν μὲν οὖν
τοῖς καλῶς τὴν ἐντολὴν ποιουμένοις, ἢ λεγομένοις προσκόπτωσί τινες.
σκανδαλίζωνται ὡς οἱ φαρισαῖοι, ἐπὶ τῷ λόγῳ τοῦ κυρίου περὶ τῶν
ὄψεων ἀποκρινομένου, καὶ νῦν καὶ προσελθόντες οἱ μαθηταὶ εἶπον
αὐτῷ. οἶδας ὅτι οἱ φαρισαῖοι ἀκούσαντες τὸν λόγον, ἐσκανδα-
λίσθησαν; πρὸς οὓς φησί. πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν
ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. ὅταν δὲ τοῖς ἐν ἐξου-
σίᾳ ἢ μὴ διακρινομένοις προσκόπτῃ τις, ἢ σκανδαλίζηται, δεῖ
ἀναμιμνήσκεσθαι καὶ τοῦ λέγοντος τοῦ κυρίου πρὸς τὸν πέτρον. εἰ
ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί; ἵνα δὲ μὴ σκανδαλί-
σωμεν αὐτούς. πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον,
καὶ τὰ ἑξῆς. καὶ τοῦ ἀποστόλου. καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ
πιεῖν οἶνον. μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδα- σημ(είωσαι)
λίζεται, ἢ ἀσθενεῖ:- Ἐρώτησις.

Πῶς νοητέον τό, καὶ ἀνθρωπάρεσκος οὐδεὶς ἐν τῷ θεῷ, ὑπάγεσθαι τοῖς λόγοις: Ἀπόκρισις.
Τοῦ ἀποστόλου λέγοντος. πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε.
ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. καὶ τὸ δοκιμάζειν καὶ τὰ
ἑξῆς, καὶ πᾶσιν ὑποτασσόμενοι κατὰ τὴν τῆς συνειδήσεως τοῦ θεοῦ.
καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ χριστοῦ. τῶν
τοίνυν τοῦ ἀποστόλου λέγοντος. [illegible], ὁ ἢ ἐπαινῶν τὸν συνεμ-
πίπτοντα τῇ ἐντολῇ τοῦ κυρίου, ἢ συμφωνοῦντα ἐπὶ τῷ ἀγαθῷ. ὡς
τὸ θέλημα ποιοῦντα [illegible] χρή. τηροῦντα τὸ ἀρεστόν.
[illegible] ἀπέχεσθαι. ὅταν δὲ ἢ ἐν αὐτῷ [illegible] τῆς ἐντολῆς
τοῦ χριστοῦ.